ἓν μὲν ἐστιν εἶδος, τὸ ἐν ταῖς διανομαῖς, ἢ τιμῆς, ἢ χρημάτων, ἢ τῶν ἄλλων, ὅσα μεριστὰ τοῖς κοινωνοῦσι τῆς πολιτείας· ἐν τούτοις γὰρ ἔστι καὶ ἄνισον ἔχειν, καὶ ἴσον ἕτερον ἑτέρου· ἓν δὲ, τὸ ἐν τοῖς συναλλάγμασι διορθωτικόν. τούτου δὲ μέρη δύο· τῶν γὰρ συναλλαγμάτων, τὰ μὲν ἑκούσιά ἐστι τὰ δὲ, ἀκούσια, ἑκούσια τὰ τοιάδε, οἷον πρᾶσις, ὠνὴ, δανεισμὸς, ἐγγύη, χρῆσις, παρακαταθήκη, μίσθωσις· ἑκούσια δὲ λέγεται, ὅτι ἡ ἀρχὴ τῶν συναλλαγμάτων τούτων, ἑκούσιος. τῶν δ' ἀκουσίων, τὰ μὲν, λαθραῖα· οἷον κλοπὴ· μοιχεία, φαρμακεία, προαγωγεία, δουλαπατία, δολοφονία, ψευδομαρτυρία· τὰ δὲ, βίαια, οἷον αἰκία, δεσμὸς, θάνατος, ἁρπαγὴ, πήρωσις, κακηγορία, προπηλακισμός.

A aut pecuniarum, aut cæterarum rerum consistit, quæ diuidi in eos possunt, qui eiusdem ciuitatis participes sunt, in his enim euenit, vt alter alteri vel iniquam, vel æquam habere portionem queat: altera, quæ in commerciis hominum emendandis versatur. Cuius duæ sunt partes, nam ex commerciis alia sunt spontanea, alia inuoluntaria, spontanea eiusmodi sunt, venditio, emptio, mutuatio, sponsio, B vsura, depositio, conductio: atque hæc spontanea ea de causa dicuntur, quia principium commerciorum horum spontaneum est, ex inuoluntariis autem clandestina alia sunt, vt furtum, adulterium, veneficium, lenocinium, seruorum seductio, dolosè perpetratum homicidium, falsa testificatio: alia violenta, vt flagellatio, vincula, mors, rapina, mutilatio, conuiciatio, contumeliæ illatio.

## Κεφάλαιον ς.

Ἐπεὶ δ', ὅ, τε ἄδικος ἄνισος, καὶ τὸ ἄδικον ἄνισον, δῆλον ὅτι καὶ μέσον τί ἐστι τοῦ ἀνίσου. τοῦτο δ' ἐστὶ τὸ ἴσον. ἐν ὁποίᾳ γὰρ πράξει ἐστὶ τὸ πλέον καὶ τὸ ἔλαττον, ἐστὶ καὶ τὸ ἴσον. εἰ οὖν τὸ ἄδικον ἄνισον, τὸ δίκαιον ἴσον· ὅπερ καὶ ἄνευ λόγου δοκεῖ πᾶσιν· ἐπεὶ δὲ τὸ ἴσον μέσον, τὸ δίκαιον μέσον τι ἂν εἴη. ἔστι δὲ τὸ ἴσον ἐν ἐλαχίστοις δυσίν· ἀνάγκη τοίνυν τὸ δίκαιον μέσον τε καὶ ἴσον εἶναι, καὶ πρός τι, καὶ τισί· καὶ ᾗ μὲν μέσον, τινῶν· ταῦτα δ' πλεῖον καὶ ἔλαττον· ᾗ δὲ ἴσον ἐστί, δυοῖν· ᾗ δὲ ἐστὶ, δίκαιον τισίν. ἀνάγκη ἄρα τὸ δίκαιον ἐν ἐλαχίστοις τέτταρσιν· οἷς τε γὰρ τυγχάνει ὄν, δύο ἐστί· καὶ ἐν οἷς τὰ πράγματα, δύο. καὶ ἡ αὐτὴ ἔσται ἰσότης, οἷς, καὶ ἐν οἷς· ὡς γὰρ ἐκεῖνα ἔχει τὰ ἐν οἷς, οὕτω κἀκεῖνα ἔχει· εἰ γὰρ μὴ ἴσοι, οὐκ ἴσα ἕξουσιν· ἀλλ' ἐντεῦθεν αἱ μάχαι καὶ τὰ ἐγκλήματα, ὅταν ἢ ἴσοι μὴ ἴσα, ἢ μὴ ἴσοι ἴσα ἔχωσι καὶ νέμωνται. ἔτι, ἐκ τοῦ κατ' ἀξίαν τοῦτο δῆλον· τὸ γὰρ δίκαιον ἐν ταῖς διανομαῖς, ὁμολογοῦσι πάντες κατ' ἀξίαν τινὰ δεῖν εἶναι· τὴν μέντοι ἀξίαν, οὐ τὴν αὐτὴν λέγουσι πάντες ὑπάρχειν· ἀλλ' οἱ μὲν δημοκρατικοὶ, ἐλευθερίαν· οἱ δ' ὀλιγαρχικοὶ, οἱ μὲν, πλοῦτον· οἱ δ', εὐγένειαν· οἱ δ' ἀριστοκρατικοὶ, ἀρετήν. ἔστιν ἄρα τὸ δίκαιον, ἀνάλογόν τι. τὸ γὰρ ἀνάλογον, οὐ μόνον ἐστὶ μοναδικοῦ ἀριθμοῦ ἴδιον, ἀλλ' ὅλως ἀριθμοῦ·

## CAPVT VI.

C QVoniam autem & iniustus iniquus, & iniuria iniqua est, medium quoddam esse iniqui perspicuum est: id autem est æquum. in quacunque enim actione est plus & minus, in eadem esse æquum necesse est. si igitur iniuria est iniqua, ius est æquum: id quod etiam absque ratione omnibus manifestum est, cùm verò æquum sit medium, ius quoque proculdubio medium quoddam erit. Est autem æ- D quum in minimis duobus. Necesse est igitur, vt ius medium, & æquum sit, & ad quoddam, & quibusdam, & in eo quidem, quòd est medium, est aliquorum, ea autem sunt plus & minus, in eo quòd est æquum, duorum: in eo verò quòd ius, quibusdam, & ad quosdam. Itaque necessariò consequitur, vt ius in quatuor minimis versetur: nam & ij quibus ius aliquod est, duo sunt, & res duæ etiam in quibus ius i- E psum consistit: eadémque & in quibus æqualitas est, sicut.n. se habent ea in quibus, eodem modo etiam illa. nam si non sunt æquales, neq. æqualia habebũt. Inde enim pugnæ & criminationes oriri consueuerunt, cùm aut æquales non æqualia, aut non æquales æqualia habent & potiũtur. Hoc autem ex eo quod pro dignitate fit, etiam patet. ius enim quod est in distribu- F tionibus, pro dignitate quadã esse oportere omnes fatentur. Dignitatẽ tamen non omnes esse eandẽ asserunt, sed populari statu vtẽtes libertatẽ: principatũ paucorũ sectantes diuitias, & nonnulli nobilitatẽ, qui in optimatũ administratione degũt, virtutem. Ius igitur quiddam est, quod in proportione consistit. Quod enim proportione cõstat, id non tam vnitario numero, quàm numero in vniuersum propriũ est.